ἢ πάντων ἢ ὀλίγων. πρὸς τὰς ὑπερεχούσας δὲ τῶν κατ' ἑκατέραν αἵρεσιν μαρτυρησάντων, ὁποτέρους ἂν εὑρίσκωμεν, ἤτοι πλείους, ἢ δυνατωτέρους, ἢ ἐν τοῖς ἀνατολικωτέροις ὑπάρχειν, ἢ ἐπικεντροτέρους, ἢ καθυπερτερεῖν, ἢ ὑπαναφέρεσθαι, καὶ μὲν οὖν οἰκειώσαντες τῶν ἐρημένων ζῳδίων, ἀνατολικοὶ τυγχάνωσι, δοτῆρες ἔσονται τέκνων, εἰ δὲ ἐν ἰδίοις εἶεν τόποις, ἔνδοξα καὶ ἐπιφανῆ ποιοῦσι τὰ δοθέντα τέκνα. ἐὰν δὲ δυτικοὶ, καὶ ἐν τοῖς τῆς ἀλλοτρίας αἱρέσεως τόποις, ταπεινὰ καὶ ἀνεπίφαντα. κἂν μὲν σύμφωνα τῇ ὥρᾳ καὶ τῷ κλήρῳ τῆς τύχης καταλαμβάνωνται, προσφιλῆ τοῖς γονεῦσι καὶ ἐπαφρόδιτα καὶ κληρονομοῦντα τὰς οὐσίας αὐτῶν, ἂν δ' ἀσύνδετοι ἢ ἀντικείμενοι, μάχιμα καὶ ἐχθροποιούμενα, καὶ ἐπιβλαβῆ, καὶ μὴ παραλαμβάνοντα τὰς τῶν γονέων οὐσίας. ὁμοίως δὲ κἂν ἀλλήλοις ὦσι συνεσχηματισμένοι, σύμφωνα τὰ τέκνα διδόντες διαμένουσιν οἱ δοθέντες φιλάδελφοι καὶ μιμητικοὶ πρὸς ἀλλήλους. ἂν δ' ἀσύνδετοι ἢ διάμετροι, φιλέχθρως καὶ ἐπιβουλευτικῶς διακείμενοι. τὰ δὲ κατὰ μέρος πάλιν αὖτις καταστοχάζοιτο χρησάμενος ἀφ' ἑκάστω τῶν τὴν δόσιν πεποιημένων τῶν ἀστέρων ὡροσκοπίῳ, καὶ ἀπὸ τῆς λοιπῆς διαθέσεως, ὡς ἐπὶ γενέσεως, τὴν περὶ τῶν ὁλοσχερεστέρων ἐπίσκεψιν, ποιούμενος.

## Περὶ φίλων καὶ ἐχθρῶν.

Τῶν δὲ φιλικῶν διαθέσεων καὶ τῶν ἐναντίων, ὧν τὰς μὲν μείζους καὶ πολυχρονίους καλοῦμεν συμπαθείας καὶ ἔχθρας, τὰς δὲ, ἐλάττους καὶ προσκαίρους συναστρίας καὶ ἀντιδικίας, ἡ ἐπίσκεψις ἡμῖν ἔσται τὸν τρόπον τοῦτον. ἐπὶ μὲν γὰρ τῶν κατὰ τὰ μεγάλα συμπτώματα θεωρουμένων, παρατηρεῖν δεῖ, τοὺς ἀμφοτέρων τῶν γενέσεων κυριωτέρους τόπους. τουτέστι τόν τε ἡλιακὸν καὶ τὸν σεληνιακὸν, καὶ τὸν ὡροσκοπικὸν, καὶ τὸν τοῦ κλήρου τῆς τύχης, ἐπειδήπερ κατὰ μὲν τῶν αὐτῶν τυχόντες δωδεκατημορίων, ἢ ἐναλλάξαντες τοὺς τόπους, ἤτοι πάντες ἢ οἱ πλείους καὶ μάλιστα ὅταν οἱ ὡροσκοποῦντες περὶ τὰς ιζ'. μοίρας ἀλλήλων ἀπέχωσι, ποιοῦσι συμπαθείας ἀπταίστους καὶ ἀδιαλύτους, καὶ ἀνεπηρεάστους. κατὰ δὲ τῶν ἀσυνδέτων, ἢ τῶν διαμετρούντων σταθέντες ἔχθρας μεγίστας καὶ ἐναντιώσεις πολυχρονίους, μηδετέρως δὲ τυχόντες, ἀλλὰ μόνον ἐν τοῖς